www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΠΡΟΦΗΤΗΝ
# ΣΑΜΟΥΗΛ

(οὗ ἡ μνήμη τῇ 20ῇ Αὐγούστου)



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιζ' * 2017 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro




# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝΔΟΞΟΝ ΠΡΟΦΗΤΗΝ ΣΑΜΟΥΗΛ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*
*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ἀπὸ Θεοῦ δῶρον μητρί σου ἐδόθης,
αἰτησαμένῃ τῆς στειρώσεως λύσιν,
καὶ εὐχηθείσῃ ἐν καρδίᾳ λυπηρᾷ,
ὅθεν κεχαρίτωσαι,
Σαμουὴλ ἔτι βρέφος,
καὶ κριτὴς ὑπέρτατος,
Ἰσραὴλ ἐγεγόνεις·
διὸ ἱκέτευε Δεσπότην Χριστόν,
ὅπως μὴ κρίνῃ,
ἡμᾶς τοὺς τιμῶντάς σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ

τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Προφῆτα Σαμουήλ, γένοιο ἡμῶν πρέσβυς. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Προφῆτα θεόσδοτε Σαμουήλ, ἐκ βρέφους τηρήσας, τοῦ Κυρίου τὰς ἐντολάς, ἀπείληφας χάριν παῤῥησίας, καθικετεύειν ὑπὲρ τῶν τιμώντων σε.

Ῥανίσι δακρύων ἱκετικῶν, ἡ μήτηρ σου Ἄννα, εἴληφέ σε δῶρον Θεοῦ, διὸ καὶ ἡμῖν δάκρυα δίδου, ἐν προσευχαῖς Σαμουὴλ θεοδώρητε.

Ὃν φύσις ἠρνήσατο Σαμουήλ, τεχθῆναι μητρός σου, ἔτεκέ σε ἡ προσευχή, ἣν χάρισαι πᾶσι τοῖς ἐν πόθῳ, ἐπιτελοῦσι τὴν πάνσεπτον μνήμην σου.

*Θεοτοκίον*

Φωνήσαντος «Χαῖρέ» σοι Γαβριήλ, συνέλαβες Μῆτερ, ἐν γαστρί σου παρθενικῇ, τὸν Λόγον Ὑψίστου Ὃν δυσώπει, ὑπὲρ πιστῶν δοξαζόντων τὸν τόκον σου.

*Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Ἡ ἁγία σου μήτηρ, διὰ σιγῆς ηὔξατο, καὶ τὴν προσευχὴν ὁ Δεσπότης, ὥσπερ θυμίαμα, καθυπεδέξατο, λύσας τὴν στείρωσιν ταύτης, δοὺς ἡμῖν τὸ πρότυπον, πῶς δεῖ προσεύχεσθαι.

Τριετὲς ὢν παιδίον, φωνὴν Θεοῦ ἤκουσας, ὡς καθαρωτάτην σου ἔχων, ψυχὴν μακάριε, ὅθεν ἀξίωσον, φωνὴν Κυρίου ἀκούειν, τοὺς ἀνευφημοῦντάς σε, Σαμουὴλ ἔνδοξε.

Ἄγγελός τις καθάπερ, ἐν τῇ Σκηνῇ ἤσκησας, Σαμουὴλ τὸ ἔργον Κυρίου, ἐν τελειότητι, διὸ αἰτούμεθα, ἀγγελικῶς τῷ Δεσπότῃ, καὶ ἡμᾶς παρίστασθαι, Τοῦτον ἱκέτευε.

*Θεοτοκίον*

Σῶσον πάντας τοὺς ὅσοι, θεοπρεπῶς Δέσποινα, σὲ ὡς προεφήτευσας πάλαι, πιστῶς δοξάζουσι, καὶ καταξίωσον, ἄχρι θανάτου τὸ «Χαῖρε», τοῦ ἀγγέλου ψάλλειν σοι, ὡς ἔστιν ἄξιον.

Διάσωσον, τοὺς σὲ τιμῶντας Θεοῦ Προφῆτα, ἀπὸ πάσης τοῦ πονηροῦ ἐχθροῦ δολίας κακώσεως, λυτρούμενος σαῖς προσευχαῖς, ἐκ κινδύνων πικρῶν καὶ νόσων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Προφῆτα Θεοῦ, ὁ λύσας μητρὸς στείρωσιν, καὶ κρίνας λαὸν, τοῦ Ἰσραὴλ ὡς ἄριστα, τῷ Δεσπότῃ πρέσβευε, ὑπὲρ πάντων τῶν ὅσοι σου, τὴν μνήμην μάκαρ Σαμουήλ, τιμῶμεν τὴν θείαν καὶ χαρμόσυνον.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ἀσεβείας ἐκλύτρωσαι, τῶν υἱῶν Ἠλὶ Προφῆτα θεσπέσιε, καὶ εὐσέβειαν ἐμφύτευσον, ταῖς ψυχαῖς τῶν πόθῳ γεραιρόντων σε.

Μιμητάς σου ἀνάδειξον, Σαμουὴλ τοὺς θείαν μνήμην τιμῶντάς σου, τοῦ ἀκούειν τὰ ἐντάλματα, Σαβαὼθ Κυρίου τὰ σωτήρια.
Ὃν τρανῶς σε δοξάσαντα, Σαμουὴλ δοξάζειν ἡμᾶς ἀξίωσον, ἔν τε λόγοις καὶ ταῖς πράξεσι, καὶ μὴ ἔργα πράττειν ἀξιόποινα.

*Θεοτοκίον*

Υἱϊκῶς μεγαλύνομεν, τὴν Μονογενῆ Υἱὸν Θεοῦ τὸν ἄναρχον, ἐν γαστρὶ κυοφορήσασαν, καὶ τῆς ἁμαρτίας ἡμᾶς σώσαντα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἤκουσται παντί, Ἰσραὴλ Προφῆτα σύνεσις, δι' ἧς εὐάρεστος ἐφάνης τῷ Θεῷ, ὅθεν αὐτήν, ὥσπερ δῶρον ἡμῖν χάρισαι.

Λόγοις σου σοφοῖς, Σαμουὴλ λαὸν ὡδήγησας, εἰς τὸ πράττειν τὰ θελήματα Θεοῦ, ὧν ἐργάτας, καὶ ἡμᾶς εὐχαῖς σου ποίησον.

Γρήγορον τὸν νοῦν, διακρίνειν τὰ συμφέροντα, τῇ ψυχῇ Προφῆτα ποίησον, καὶ ἐκφεύγειν, πονηροῦ τὰ διαστρέμματα.

*Θεοτοκίον*

Ἔχοντες τὴν σήν, προστασίαν Παναμώμητε, οὐ δειλιῶμεν τὰ τοξεύματα ἐχθροῦ, ὃν καταργήσαις, παναγίαις σου δεήσεσι.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν.*

Νικήσας, πολυκτήμονα διάθεσιν, οὐκ ἐδέξω Σαμουὴλ ποτὲ δῶρον, ὅθεν ἡμᾶς, ἐκῤῥιζῶσαι τὸ πάθος, πολυκτησίας εὐχαῖς σου ἀξίωσον, καθὼς ἐδίδαξεν Χριστός, τοῖς ἀρκοῦσιν ἡμέρᾳ ἐφήδεσθαι.

Ὁρῶντα, Ἰσραὴλ ἐκάλεσε, Σαμουήλ σε ὡς προβλέποντα πόῤῥω, καὶ τοῦ Θεοῦ, τὰς ὁδοὺς ἐξηγοῦντα, ἐν αἷς

πορεύεσθαι ἕκαστος ὤφειλε, ὧν δεῖξον ἅπαντας ἡμᾶς, ὁδοιπόρους σεπταῖς σου δεήσεσι.

Ἱέρευσας, Σαμουὴλ καὶ ἔχρισας, τὸν Σαοὺλ εἰς βασιλέα λαοῦ σου, ὑπακοῇ, πρὸς τὸν Ἄνακτα πάντων, Ὃν ἐκδυσώπει ἡμῶν ἄρχειν πάντοτε, καὶ τὰ ἀρέσκοντα Αὐτῷ, ἐνεργεῖν τε καὶ πράττειν ἀείποτε.

*Θεοτοκίον*

Οὓς Ἄχραντε, ὁ Υἱός σου δέδωκεν, κατὰ χάριν ὀνομάζεσθαι τέκνα, σκέπε ἀεί, καὶ δαιμόνων ἀπάτης, ταῖς προσευχαῖς σου ἀτρώτους διάσωζε, ὑμνοῦντάς σου τὴν μητρικήν, προστασίαν καὶ θείαν ἀντίληψιν.

Διάσωσον, τοὺς σὲ τιμῶντας Θεοῦ Προφῆτα, ἀπὸ πάσης τοῦ πονηροῦ ἐχθροῦ δολίας κακώσεως, λυτρούμενος σαῖς προσευχαῖς, ἐκ κινδύνων πικρῶν καὶ νόσων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Σαμουὴλ προσευχῆς τὸ ἐκβλάστημα, καὶ ἐκ βρέφους Θεῷ καλλιέρημα, δέξαι πάντων, τὰς ἱκεσίας ἃς πρὸς σὲ πιστῶς, δεικνύς, παῤῥησίαν τὴν πολλήν, τὴν ἐκ τοῦ βίου θαυμαστοῦ, καὶ Κυρίου δεήθητι, ὅπως ἡμᾶς φυλάττῃ, πάσης ἐχθροῦ παγίδος, καὶ Βασιλείας τῆς Αὐτοῦ, ἀξιώσῃ ὡς εὔσπλαγχνος.

Προκείμενον. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.

Στίχος. *Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον*

(κεφ. 23.29-39)

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας αὐτῷ γραμματεῖς καὶ φαρισαίους· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· Εἰ ἤμεθα ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεθα αὐτῶν κοινωνοὶ ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς· ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν, οὐ μή με

ἴδητε ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Δόξα Πατρί.*

Ταῖς τοῦ σοῦ Προφήτου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Σαμουὴλ θεαίτητε,
καρπὲ εὐχῆς τῆς μητρός σου,
ὁ ἐκ βρέφους Κύριον
ἐσχηκὼς λαλοῦντά σοι
καὶ ὑψώσαντα,
Ἰσραὴλ ἐνώπιον,
οὗ κριτὴς ἐφάνης,
καὶ ὁρῶν δικαίως κέκλησαι,
ὅτι προέβλεπες,
Πνεύματι Ἁγίῳ τὰ μέλλοντα.
Αὐτὸς Προφῆτα πρόσευξαι,
ὑπὲρ τῶν πιστῶς γεραιρόντων σε,
ὅπως διαλύσῃ,

τὴν στείρωσιν ἡμῶν τῶν καρδιῶν,
καὶ θείᾳ δρόσῳ ἐκφύσωσιν,
ἀρετῶν βλαστήματα.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἡμαρτήκαμεν σφόδρα, ὥσπερ πάλαι Προφῆτα λαὸς ἡμάρτηκε, διὸ Κυρίῳ εὔχου, παθῶν κατασυντρίψαι, τὰ ψυχόλεθρα εἴδωλα, καὶ τὴν λατρείαν ἡμῶν, Κυρίῳ μόνῳ δῶμεν.

Μαινομένην τὴν σάρκα, Σαμουὴλ θείῳ ξίφει εὐχῶν κατάσφαξον, ὥσπερ Ἀγὰγ τὸ πάλαι, κατέσφαξας χειρί σου, καὶ Σαοὺλ παρακούσαντα, ἤλεγξας πάνυ σφοδρῶς, ἐν ζήλῳ τοῦ Κυρίου.

Ὡς λαῷ  βασιλέα, ἀπαιτήσαντι τοῦτον Προφῆτα δέδωκας, ἡμῶν ἐν ταῖς καρδίας, κατάστησον ἀσείστως, Βασιλέα αἰώνιον, τὸν Ἰησοῦν τὸν γλυκύν, ἡμῖν ὁμοιωθέντα.

*Θεοτοκίον*

Νοεραὶ στρατηγίαι, καὶ χριστώνυμοι Κόρη ἀεὶ δοξάζομεν, τὸν ἄφραστόν σου Τόκον, δι᾽ οὗ τῆς ἁμαρτίας, τοῦ ζυγοῦ ἐλυτρώθημεν, ἐγκεντρισθέντες Αὐτοῦ, θείᾳ καλλιελαίῳ.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Πυρίνους δεῖξον, τοὺς ἐν πηλῷ ἁμαρτίας, Σαμουὴλ κειμένους καὶ γεώδεις, ὅπως πυρὶ θείῳ, ὑμνῶμεν τὸν Δεσπότην.

Ῥοὴν δακρύων, ἡμῖν ἐξαίτει Προφῆτα, καταῤῥάκτας κατάξας οὐρανόθεν, ἵνα ῥυπωθείσας, καθάρωμεν εἰκόνας.

Ἐσκοτισμένους, ἐν ταῖς μερίμναις τοῦ βίου, τῷ Κυρίου φωτὶ ἡμᾶς Προφῆτα, αὔγασον καὶ δεῖξον, ὁδὸν τῆς σωτηρίας.

*Θεοτοκίον*

Σὰς χεῖρας Κόρη, δεητικὰς πρὸς Δεσπότην, αἶρε ὅπως τὰ πλήθη ἁμαρτίας, ἡμῶν ἐξαλείψῃ, Αὐτοῦ φιλανθρωπίᾳ.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Βοήθει τοῖς σοῖς δούλοις, Σαμουὴλ προφῆτα, ἐν ταῖς τοῦ βίου δειναῖς περιστάσεσι, τιμήσαντά σε Δεσπότην, ἐξιλασκόμενος.

Ὑπὲρ πολλὰς θυσίας, Σαμουὴλ Δεσπότης, ὑπακοὴν εὐαρέστως προσδέχεται, ἣν τοῖς προστάγμασι Τούτου, ἡμῖν σὺ δώρησαι.

Σὲ πρέσβυν τῷ Κυρίῳ, Σαμουὴλ θεόπτα, ὡς ὁ λαός σου ποτὲ προβαλλόμεθα, τὴν τῶν ψυχῶν σωτηρίαν, ἡμῶν αἰτούμενοι.

*Θεοτοκίον*

Ἄχραντε Θεοτόκε, σὺν τῇ θείᾳ Ἄννῃ, καὶ Σαμουὴλ τῷ προφήτῃ πρεσβεύσατε, ὑπὲρ ἡμῶν τῷ Υἱῷ σου, τῷ φιλοικτίρμονι.

*εἶτα ψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

## Μεγαλυνάρια τοῦ Προφήτου

(παλαιόν)

Χαίροις ἱερώτατε Σαμουήλ, ὁ Θεῷ ἐκ βρέφους, φερωνύμως προσκληρωθείς, χαίροις ὁ τὰ πόῤῥω, ὡς ἐνεστῶτα βλέπων, προφητικῶν χαρίτων, χαῖρε κειμήλιον.

*ἕτερα νεοσύνθετα*

Ὡς μητρός σου Ἄννης εὐχῆς καρπός, προφῆτα Κυρίου, εὐλογίαν τῆς προσευχῆς, δὸς τοῖς σὲ τιμῶσι, τὴν μνήμην σου τὴν θείαν, ὦ Σαμουὴλ θεόπτα, καὶ θεοδόξαστε.

Ἄμωμος ἐν πᾶσι πολιτευθείς, Σαμουὴλ προφῆτα, ἄλλος ἄγγελος τοῦ Θεοῦ, ἀπὸ βρέφους θείων, χαρίτων ἠξιώθης, αἷς τὰς ψυχὰς τιμώντων, σὲ καταστόλισον.

Ἄσβεστον τὸν λύχνον τοῦ ἱεροῦ, τηρῶν τοῦ Κυρίου, ὦ θεόψυχε Σαμουὴλ, τρὶς κατηξιώθης, φωνὴν Αὐτοῦ ἀκοῦσαι, καὶ καθαρῶς προβλέπειν, πάντα τὰ μέλλοντα.

Λάλει τοῦ Κυρίου τὰς ἐντολὰς, τοῖς ὠσὶν τιμώντων, σὲ Προφῆτα μεγαλουργέ, καὶ πάντας ἐργάτας, ἔνδειξον φιλοτίμους, ὅπως ἀξιωθῶμεν, τῆς θείας στάσεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς.
Πάσης γὰρ ἀπολογίας ἀποροῦντες,
ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ
οἱ ἁμαρτωλοὶ προσφέρομεν·
ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ἄννης τῆς μητρός σου προσευχῆς,
βλάστημα ἐδείχθης προφῆτα,
καὶ πλήρης Πνεύματος,
Σαμουὴλ ὡδήγησας,
τὸν παλαιὸν Ἰσραήλ,
εἰς Κυρίου θελήματα,
σαφῶς ὡς παρόντα,
πόῤῥωθεν τὰ μέλλοντα,
ἐκδιηγούμενος.
Ὅθεν, καὶ ἡμῶν τὰς καρδίας,
πλήρωσον ἀγάπης Δεσπότου,
καὶ τῆς σωτηρίας καταξίωσον.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε, εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε,
πάντων τῶν Ἁγίων,
καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν,
καὶ ἐλέησον ἡμᾶς,
ὡς μόνος οἰκτίρμων.

Δι' εὐχῶν.

*Στίχοι*

*Πλήρωσον ἡμᾶς, ὦ Σαμουὴλ Προφῆτα,*
*Θείαις σου εὐχαῖς, Πνεύματος χαρισμάτων.*